οὕτω μὴ θαύμαζε, Σιμωνίδη, οὕνεκα κἀγὼ
ἐξεδάμην καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέωι.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής,
ὄφρα τέλειος ἔηι, Κύρνε, νέοισιν ἔρως.
ἢν μὲν γὰρ τελέσηι, γλυκὺ γίνεται· ἢν δὲ διώκων
μὴ τελέσηι, πάντων τοῦτ᾽ ἀνιηρότατον.

Αἰεὶ παιδοφίλησιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.
χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα
ὥσπερ κληματίνωι χεῖρα πυρὶ προσάγειν.

Ναῦς πέτρηι προσέκυρσας ἐμῆς φιλότητος ἁμαρτών,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

Οὐδαμά σ᾽ οὐδ᾽ ἀπεὼν δηλήσομαι· οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων ὥστε με μή σε φιλεῖν.

Ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ᾽ αὐτοῦ καί μου παῦρ᾽ ἐπάκουσον ἔπη: —